# ΠΟΙΗΣΗ ΤΟΥ 11ου ΑΙΩΝΑ

## I. Χριστόφορος Μυτιληναῖος (ἐκδ. Kurtz)

1. Εἰς τὸν Βασίλειον τὸν λεγόμενον Χοιρινόν, πολλάκις αἰτήσαντα ἐκ τῶν συγγραμμάτων αὐτοῦ

Τί πολλὰ γρύζεις τοὺς ἐμοὺς ζητῶν λόγους
καὶ «σαῖς γραφαῖς θρέψον με» συχνῶς μοι λέγεις;
Ἄπελθε πόρρω· χοῖρος οὐ τρώγει μέλι,
ἔχεις βαλάνους δεῖπνον, εἰ βούλει, φίλον·
ἂν οὖν μάλιστα καὶ κερατίων δέῃ,
ἡ σύζυγος πλήσει σε καὶ κερατίων.

2. Αἴνιγμα εἰς τὴν χιόνα

Κρατεῖς με καὶ φεύγω σε κεκρατημένη.
φεύγουσαν ἀθρεῖς καὶ κατασχεῖν οὐ σθένεις.
κἂν γοῦν μέσης σφίγγεις με παλάμης ἔσω,
κενὴν λιποῦσα φεύξομαι σὴν παλάμην.

## II. Ἰωάννης Μαυρόπους (ἐκδ. de Lagarde)

Εἰς Πλάτωνα καὶ Πλούταρχον

Εἴπερ τινὰς βούλοιο τῶν ἀλλοτρίων
τῆς σῆς ἀπειλῆς ἐξελέσθαι, Χριστέ μου,
Πλάτωνα καὶ Πλούταρχον ἐξέλοιό μοι.
ἄμφω γάρ εἰσι καὶ λόγον καὶ τὸν τρόπον
τοῖς σοῖς νόμοις ἔγγιστα προσπεφυκότες.

εἰ δ’ ἠγνόησαν, ὡς Θεὸς σὺ τῶν ὅλων,
ἐνταῦθα τῆς σῆς χρηστότητος δεῖ μόνον,
δι’ ἣν ἅπαντας δωρεὰν σώζειν θέλεις.

## III. Ἄλλα

Στίχοι Ἰακώβου τινὸς μοναχοῦ ἀπὸ τῆς μονῆς τοῦ Συγκέλλου
κατὰ τοῦ Ψελλοῦ

Ὦ δέσποτα Ζεῦ καὶ πάτερ καὶ βακλέα,
ὀβριμοβουγάιε καὶ βαρυβρέμων,
Ὄλυμπον οὐκ ἤνεγκας κἂν βραχὺν χρόνον,
οὐ γὰρ παρῆσαν αἱ θεαί σου, Ζεῦ πάτερ.